eul_wid: upu-af

*Ὁμηρικοὶ Ὕμνοι* · Hymnic Collection Anonymous

# Hymn 20 To Hephaestus

*Ὕμνος εἰς Ἥφαιστον*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Ἥφαιστον κλυτόμητιν ἀείδεο Μοῦσα λίγεια,
ὃς μετ’ Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα
ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονός, οἳ τὸ πάρος περ
ἄντροις ναιετάασκον ἐν οὔρεσιν ἠΰτε θῆρες.
νῦν δὲ δι’ Ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες
ῥηϊδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτὸν
εὔκηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν.
Ἀλλ’ ἵληθ’ Ἥφαιστε· δίδου δ’ ἀρετήν τε καὶ ὄλβον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org